# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΝ ΠΟΛΙΟΥΧΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

# ΑΓΙΟΝ ΔΗΜΗΤΡΙΟΝ

(ΕΚ ΧΕΙΡΟΓΡΑΦΟΥ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ)



Ἀνατύπωσις ἐκ τοῦ Περιοδικοῦ
«ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ».

ΘΕΣΣΑΛΟΝΙΚΗ
1927

# ΔΥΟ ΑΚΟΛΟΥΘΙΑΙ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΔΗΜΗΤΡΙΟΝ

---

## ΑΚΟΛΟΥΘΙΑ

---

*»Ψαλλομένη εἰς τὸν πανένδοξον μέγαν Δημή-
»τριον τὸν μυροβλήτην ποιηθεῖσα, παρὰ τοῦ τι-
»μιωτάτου καὶ μακαρίου χαρτοφύλακος Θεσσα-
»λονίκης κῦρ Ἰωάννου τοῦ Σταυρακίου».*

---

### Στιχηρὰ ἦχος Β΄ Ποίοις εὐφημιῶν

Ποίοις οἱ γηγενεῖς χείλεσιν, ἀνυμνήσωμεν τὸν ἀθλοφόρον· καὶ σημειοφόρον Δημήτριον· τοῦ Χριστοῦ τὸ στόμα τὸ ἅγιον· τὸν φαιδρὸν Κυρίου στρατιώτην ἀγάλλου Θεσσαλονίκης ἡ περίχωρος· εὐφραίνου τῶν Μακεδόνων ἡ μητρόπολις· μεγαλαυχοῦσα τῇ δόξῃ· τῶν πολλῶν θαυμάτων τοῦ θερμοῦ προστάτου ἡμῶν· δι' οὗ πάσης θλίψεως καὶ νόσων ἀπολυτρούμεθα.

Πᾶσαν ἀντ' οὐδενὸς θέμενος· τὴν ἐπίγειον εὔκλειαν μάρτυς ἔσπευσας; τὴν ἄνω κληρώσασθαι ἣν ὁ Πατὴρ Θεὸς δίδωσι· τοῖς αὐτοῦ ἐντάλματα τηροῦσι· καὶ θέλων Χριστοῦ μιμήσασθαι τὸ πάθημα· τρανῶς τοῦτον ἀνεκήρυττες Δημήτριε· ἐνώπιον βασιλέως· καὶ τυχὼν τοῦ πόθου νῦν πτεσβεύεις μάκαρ ἡμῖν· πταισμάτων τὴν ἄφεσιν δοθῆναι τοῖς

Ποίοις οἱ γηγενεῖς ὄμμασι· τὴν πανθαύμαστον τοῦ στεφηφόρου· παναγίαν λάρνακα βρύουσαν· τὸ εὐῶδες μῦρον κατίδωμεν· Δημητρίου τοῦ ὑπερενδόξου· πελάγη καὶ ποταμοὺς ἀποξηραίνουσαν· πταισμάτων καὶ νόσων βλάβην ἐκδιώκουσαν· δαιμονικῆς τυραννίδος· καὶ παντὸς κινδύνου λυτρουμένην ἣν ὁ Χριστός· ἀξίως ἐδόξασεν· ὁ ἔχων τὸ μέγα ἔλεος.

Πάθος τὸ τοῦ λοιμοῦ ἔστησας· προστασία σου τῇ παντεφόρῳ· καταληΐζόμενον πόλιν σου· οἷάπερ θὴρ χαλεπώτατος· πλείστους ἐν ναῷ σου συνεγείρας· τοῖς μέν, ὡς τοκεὺς φιλόπαις παριστάμενος· τοῖς δέ, καὶ χερσὶ τὸ ὅπλον τὸ σωτήριον· σταυρὸν τυπῶν ὡς ἐκ τάφου· μάρ-

τυς ἐλυτρώσω· ἀλλὰ δίδου καὶ νῦν ἡμῖν ψυχῶν καὶ σωμάτων εὐρωστίαν τοῖς σὲ δοξάζουσιν.

Νόες οἱ τοῦ Θεοῦ βήματι παριστάμενοι πρὸς σὲ κατῆλθον· ἁλωσιν πατρίδος μηνύοντες· νεύσει τῇ τοῦ κτίστου τῆς κτίσεως· ἀλλὰ σὺ φιλόπολις ὑπάρχων· τὸν κτίστην, τοῖς δάκρυσί σου ἐξηυμένισας· θνησκόντων, συναποθνήσκω φάσκων Δέσποτα· ὅθεν σωθέντες ἐν πίστει ἀθλητῶν ἀκρότης· ἀνυμνοῦμεν χρεωστικῶς· τὸν σὲ στεφανώσαντα· ἀξίως καὶ σὲ δοξάζομεν.

*Θεοτοκίον*

Σκέπη Χριστιανῶν Δέσποινα· ἀειπάρθενε Μήτηρ Κυρίου πίστει δυσωποῦμέν σε πρόστηθι· ρῦσαι καὶ σεισμοῦ καὶ ἁλώσεως καὶ πάσης ἀνάγκης τὴν σὴν πόλιν· ἱλέωσαι τὸν υἱόν σου δὲ πανάμωμε δωρήσασθαι τοῖς οἰκέτης σου τὸν μάρτυρα· Δημήτριον εἰς αἰῶνας· μέγιστον προστάτην· ὅπως θείαις αὐτοῦ λιταῖς· λυτρώμεθα βλάβης ἐναντίον, καὶ πάσης θλίψεως.

**Ὁ Κανὼν ᾠδὴ α΄. ἦχος α΄. Ἀναστάσεως ἡμέρα**

Ἀναστάσεως ἡμέρα Δημητρίου σφαγή· πίπτει καὶ γὰρ ἡ πλάνη· ἡ δ' ἐκκλησία τοῦ Χριστοῦ· ἐξεγήγερται λαμπρῶς· καὶ χαίρει χαρᾷ. ᾠδὴν χαριστήριον τῷ Θεῷ ἀνακράζουσα.

Καθαρθῶμεν ρύπον πάντα καὶ δραμώμεθα· ἔνδον λευχειμονοῦντες· τοῦ Δημητρίου τῇ σορῷ· ἐξαστράπτοντα αὐτὸν ὁρῶντες τρανῶς· ὡς ἂν ἀκουσώμεθα πρὸς τοῦ μάρτυρος, χαίρετε.

Οὐρανοὶ μὲν διηγοῦνται ὄντως δόξαν Θεοῦ· ἣν τοὺς πιστοὺς δοξάζει· ποίησιν δι' αὖθις τῶν χειρῶν· τὸ στερέωμα ὑμνεῖ ὁ μάρτυς. Ἰδοὺ· χειρῶν Θεοῦ ποίημα· διὰ τοῦτο γεραίρεται.

**ᾠδὴ Γ΄. Δεῦτε πόμα**

Δεῦτε πόμα πίωμεν κενόν· ἐκ πλευρᾶς Δημητρίου τὸ προχεόμενον· καὶ τῆς ὀσμῆς τῶν αὐτοῦ· γευσώμεθα μύρων δαψιλῶς· ἐν οἷς στερεούμεθα.

Νῦν πᾶσα πεπλήρωται χαρᾶς· ἡ Χριστοῦ ἐκκλησία μνήμῃ τοῦ μάρτυρος· Θεσσαλονίκη δὲ κροτεῖ· καὶ μᾶλλον τοῖς μύροις τοῖς αὐτοῦ ἐν οἷς ἐστερέωται.

Χθὲς συνεσταυροῦτο τῷ Χριστῷ· τῇ ἀθλήσει ὁ μέγας Δημή-



τριος· καὶ συνδοξάζεται νῦν· λαμπρῶς στεφανούμενος Θεῷ, ἐν ᾧ ἐστερέωται.

**Κάθισμα ἦχος γ΄. Τὴν ὡραιότητα**

Τὸν συμπαθέστατον Κυρίου μάρτυρα· ἐκδυσωποῦμέν σε πιστῶς Δημήτριε· ρῦσαι ἡμᾶς παντοδαπῶν κινδύνων ἐπερχομένων· ἴασαι ψυχῶν ἡμῶν καὶ σωμάτων τὰ τραύματα· θραῦσον τὰ φρυάγματα τῶν ἐχθρῶν ἡμῶν ἅγιε· εἰρήνευσον ἡμῶν τὴν ζωήν· ὅπως ἀεί σε δοξάζομεν. (=ζωμεν)

**Ἕτερον. Δόξα**

Τεῦχος ἀπόρθητον μάρτυς πρεσβείαις σου· γενοῦ τῇ πόλει σου βαρβάρων φάλαγγας· ἐκτρέπων σου μαρτυρικαῖς, ταῖς πρὸς Θεὸν οἰκειώσεσιν· ἔχεις γὰρ τὸ δύνασθαι βοηθεῖν καὶ διασώζειν· πίστει δυσωπούμενος ἐν καιρῷ περιστάσεων· καλλώπισμα μαρτύρων Δημήτριε· φύλαξ τῆς ὅλης πατρίδος σου.

**Καὶ νῦν Θεοτοκίον**

Τὴν ὡραιότητα τῆς παρθενίας σου· καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου· ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι Θεοτόκε.....

**ᾠδὴ Δ΄. Ἐπὶ τῆς θείας φυλακῆς**

Ἐπὶ τῆς θείας φυλακῆς τοῦ Δημητρίου τῆς σοροῦ· στῶμεν εὐλαβῶς καὶ θεωροῦντες· φαεσφόρον ἅπαντες· τὸν ἀθλοφόρον κράζοντα· δράμετε νοητῶς εὐφρανθέντες· καὶ ὕδωρ ὡς ἐκ πηγῆς· μῦρον ἀντλήσατε

Ὡς ἐνιαύσιος ἀμνὸς ὁ μυρορρόας τῷ Χριστῷ· τέθυται σφαγῇ ἑκουσίῳ τοῦ πιεῖν γὰρ ἔσπευδε· τὸ τοῦ Χριστοῦ ποτήριον πίνει οὖν καὶ πηγὴν τὴν τῶν μύρων· πιστοὺς ποτίζει διὸ καὶ μεγαλύνεται.

Ἄρσεν μὲν τὸ εἰς θυσίαν προσαγόμενον ποτὲ ἦν ὑποδηλοῦν τὸ γενναῖον ἀρετῶν καὶ γόνιμον· τῶν προσαγόντων οὕτω γάρ· βούλεται ὁ Θεὸς ἔχειν πάντας· ὅρα μοι ταῦτα λοιπὸν τῷ θείῳ μάρτυρι.

Ὁ θεοπάτωρ πρὶν Δαυῒδ πρὸ τῆς σκιώδους κιβωτοῦ· ἥλατο (=ἥλατο) σκιρτῶν καὶ ἡμεῖς δὲ κιβωτοῦ τοῦ μάρτυρος· νῦν προσκιρτῶντες κράζο-

μεν· αἴνεσις τῷ ἡμῖν χορηγοῦντι· λύτρον παθῶν καὶ χρηστὰ διὰ τοῦ μάρτυρος.

## ᾠδὴ Ε΄. Ὀρθρίσωμεν

Ὀρθρίσωμεν ὄρθρου βαθέος· καὶ μετὰ μύρων μύροις νῦν προσέλθωμεν Δημητρίου· καὶ αὐτὸν ὀψόμεθα· ὡς ἐκ παστοῦ ἀνίσχοντα· ἥλιον πάντας φωτίζοντα.

Τὴν ἄμετρόν σου καρτερίαν Χριστοῦ ὁπλῖτα· καὶ ἄγγελοι βλέποντες ἰδοὺ σῶμα· ἐκπλαγῶς ἀνέκραζον· ἀδάμαντος στερρότερον· πνεῦμα χειρῶν Θεοῦ δ᾽ ἄξιον.

Προσέλθωμεν λαμπαδηφόροι τῇ μυροθήκῃ· Δημητρίου μάρτυρος. καὶ λαμπάδας· τὰς ἔνδον κοσμήσωμεν· τὸ μῦρον ὡσεὶ ἔλαιον· ψυχῆς ἀγγείοις λαμβάνοντες.

## ᾠδὴ στ΄. Κατῆλθες

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς· νόμῳ φύσεως μάρτυς· ἀλλὰ πηγάζεις ἡμῖν· τῶν μύρων δαψίλειαν καὶ θαυμάτων σου· ἀειρρόους τὰς πηγάς· ἐξ Ἐδὲμ ὥσπερ ἄλλης.

Φυλάξας τὰ σήμαντρα σῶα σοφέ· ὡραιότητος πρώτης· εἰς καιρὸν ζωῆς ξύλου λαμπρῶς τετύχηκας· τὸν ἁρμόζοντα· καὶ τρυγᾷς ἐν τῇ Ἐδέμ· ἀγαθῶν παγκαρπίαν.

Σωτήρ μου καὶ ῥύστης ἐβόας Χριστός· ἐξ ἐχθρῶν μου ὀργίλων· τῶν ἀθέων εἰδώλων καταμηκώμενος· καὶ λελόγχευσαι· διὰ τοῦτο τὴν πλευρὰν· ἀθλητὰ γενναιόφρον

## Κοντάκιον ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ

Τῇ ὑπερμάχῳ στρατηγῷ καὶ ἀντιλήπτορι· εὐχαριστήριον ᾠδὴν καὶ ἱκετήριον· νῦν προσφέρω σοι ἡ πόλις σου ἀθλοφόρε ἀλλ᾽ ὡς ἔχων ἐκ Θεοῦ ἰσχὺν ἀήττητον· ἐκ παντοίων πειρασμῶν με ἐλευθέρωσον· ἵνα κράζω σοι· χαῖρε μάρτυς Δημήτριε.

Ὁ οἶκος πρὸς τὸ «Ἄγγελος Πρωτοστάτης»

Ἄλλος ἥλιος ὤφθης οὐρανόθεν ἐκπέμπων αὐγὰς τὰς τῶν θαυμάτων τῷ κόσμῳ. Καὶ σὺν τοῖς ἀσωμάτοις χοροῖς παριστάμενος τῷ θρόνῳ τῆς χάριτος, ἱλέωσαι τὸν εὔσπλαχνον τοῖς κράζουσι πρὸς σὲ τοιαῦτα.

Χαῖρε δι᾽ οὗ ὁ Θεὸς ἐδοξάσθη, χαῖρε δι᾽ οὗ ὁ Χριστὸς ἐκηρύχθη.



Χαῖρε τῶν πιπτόντων βροτῶν ἡ ἀνόρθωσις.
Χαῖρε προκοπτόντων ἀνδρῶν ἡ βεβαίωσις.
Χαῖρε κάλλος ἐνθεώτατον ταῖς ἐνθέοις ἀρεταῖς.
Χαῖρε στόμα χρυσαυγέστατον τῆς σοφίας τοῦ Θεοῦ.
Χαῖρε ὅτι ὑπάρχεις τοῦ Δεσπότου θεράπων.
Χαῖρε ὅτι φυλάττεις τὴν σὴν πόλιν ἑδραίαν.
Χαῖρε ἀστήρ, τοῦ σκότους ἀντίθετε.
Χαῖρε φωστὴρ ἁπάσης τῆς κτίσεως.
Χαῖρε δι᾽ οὗ καταργεῖται ἡ πλάνη.
Χαῖρε δι᾽ οὗ ἐνεργεῖται ἡ πίστις.
Χαῖρε μάρτυς Δημήτριε.

## ᾠδὴ Ζ΄. Παῖδας

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος· μάρτυς σε ἐδόξασε θαύμασι πολλοῖς· καὶ τεραστίοις ἀπείροις· τὴν σορόν σου δεικνύων ὡς ἄβυσσον· τῶν μύρων ταῖς προχοαῖς κόσμον ὅλον· ποταμηδὸν κατάρδουσαν.

Γυναῖκες εὐσεβεῖς νῦν διδάχθητε· παρθενίας χάριτας· ἴδε ὁ κλεινὸς Χριστοῦ ὁπλίτης τὰ μῦρα· τῆς καθάρσεως δείκνυσι μέγαν καρπόν· ἃ βλύζει παρθενικῶν· ἐξ αἱμάτων ὑμνῶν τὸν τῶν πατέρων Θεόν.

Ὡς ὄντως ἱερὰ ὦ Δημήτριε· σφαγή σοι πλευρόνυκτος· ῥήγνυσι πλευρᾶς τὸ ἐπισκέπον σαρκίον· καὶ γυμνὴν τῷ Χριστῷ δεικνὺς ἔκραζες· οὐ κέκρυπται ἀπὸ σοῦ· τὸ ὀστοῦν μου κρυφῇ ὅπερ εἰργάσω Χριστέ.

Θανάτῳ ἀντηλλάξω Δημήτριε· ζωὴν τὴν αἰώνιον· σπείρεις οὐ σαρκί· ἀλλὰ γὰρ πνεύματι διὸ καὶ θερίζεις ἐκ τούτων τὰ μόνιμα· τὸν μόνον εὐλογητὸν μεγαλύνων· Θεὸν τὸν τῶν πατέρων ἡμῶν.

## ᾠδὴ Η΄ Αὕτη ἡ Κλητὴ

Αὕτη ἡ κλητὴ ἡ ἁγία ἡμέρα· τῆς μνήμης Δημητρίου· λαοὺς φυλάς τε καὶ γλώσσας· γένος ἅπαν βροτῶν· συγκαλεῖται πρὸς αἰσίαν πανήγυριν· ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ ἀνεβόας, Δημήτριε· ἄρτου σαρκὸς τοῦ λόγου· κατατρυφήσωμεν πάντες· καὶ τοῦ αἵματος ζωηφόρου εὐλαβῶς κοινωνήσωμεν· λογχευθῇ διὸ τὴν πλευρὰν καὶ μῦρα βλύζει.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμοὺς φαιδρῶς καὶ ἴδε πόλις Θεσσα-

ΑΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ...

λονίκη· λαοὶ ἐκ γῆς μακρόθεν· ἐκ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης καὶ ἕως νῦν εἴκασιν (ἥκασιν) ἐν σοὶ προσκυνῆσαι Δημήτριον τὸν μέγαν.

Πάτερ Παντοκράτορ καὶ Λόγε καὶ Πνεῦμα· μοναρχικὴ οὐσία· σὺ εἶ Θεός μου καὶ δόξα· ἀνεκραύγαζεν· ὁ Δημήτριος διὸ καὶ λελόγχευται· καὶ νῦν τὴν Τριάδα δοξάζει μετ' ἀγγέλων.

### ᾠδὴ Θ΄. Φωτίζου φωτίζου

Φωτίζου φωτίζου ἡ νέα Ἱερουσαλήμ· ἡ Χριστοῦ ἐκκλησία ἐν τῇ μνήμῃ σήμερον· τοῦ Δημητρίου κραυγάζοσα· σὺ εἶ Χριστέ δόξα τῶν μαρτύρων· ἰσχὺς καὶ κράτος καὶ στήριγμα.

Ὢ θείας ὢ φίλης· ὢ γλυκυτάτης σου φωνῆς· τοῦ Χριστοῦ ἀθλοφόρε· ἐπηγγείλω ἔσεσθαι· καὶ ἐν κινδύνων καιρῷ μεθ' ἡμῶν· ἣν σο λαοί· ἄγκυραν ἐλπίδος κατέχοντες ἀγαλλόμεθα.

Ὢ πάσχα τὸ θεῖον· ἡμῶν Δημήτριε σοφέ· διὰ σοῦ πάσης βλάβης ἐξ Αἰγύπτου ἄντικρυς· βαίνομεν πᾶσα ἡ πόλις σου· ἣν ὁδηγῶν· τῇ ἐπηγγελμένῃ τρυφῇ εἰσάγοις πρεσβείαις σου.

### Στιχηρὰ προσόμοια εἰς τὸν μέγαν Δημήτριον

### ἦχος πλ. α΄ Ὅπου ἐπισκιάσῃ

Ὅπου ἐπικληθήσῃ παμμέγιστε Δημήτριε, ἐκεῖθεν ἐκδραπετεύει πολεμικὴ παράταξις· οὐ φέρει γὰρ τῷ σῷ κράτει προσμένων, ἀλλὰ τάχιστα πίπτει· διὸ αἰτοῦμέν σε· τὰ πυρφόρα ἐθνῶν βέλη τὰ καθ' ἡμῶν κινούμενα ἀπόσβεσον· τῇ στρατηγίᾳ σου λυτρούμενος ἡμᾶς, ἐκ πολεμίων ἐθνῶν· τὸ κραταίωμα Θετταλῶν καὶ καύχημα.

### Ὀκτάηχον (Τοῦτο καὶ διὰ μουσικῶν χαρακτήρων)

Ἦχος α΄, Τριαριστῶν, ἀντιλήπτορ ἡμῶν μεγαλόδοξε Δημήτριε· τῶν μαρτυρικῶν κοιλάδων τὸ ἀμάραντον ἄνθος· τὸ μῆλον τὸ εὔοσμον· ἄμπελος ἡ κυπρίζουσα ταῖς διαφόροις τοῦ πνεύματος χάρισιν· ἦχ. β΄. ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια τῶν θαυμάτων σου ὑπεράνω τῶν οὐρανῶν· ἦχος γ΄ προσᾳδέτω σοι ταῦτα κατὰ καιρὸν κιννύρα δαυϊτική· τὸν γὰρ Θεάνθρωπον λόγον τοῦ πανυψίστου Πατρὸς, ὡς ἐκείνου γνήσιος δοῦλος κατὰ δύνα-



μιν μιμησάμενος, ἦχος δ΄. ἐπὶ σταυροῦ μὲν οὐκ ἀνέβης, λόγχας δὲ ὅμως τὸ καθαρώτατον σῶμα σου, μυριότρωτον ἐκ τούτων ἀπέδειξας· πλ. α΄ Καὶ νῦν αἰδεῖται σου τὸ τίμιον πάθος ἡ ἐν Ἐδὲμ φλογίνη ρομφαία. πλ. β΄ ὡς πάλαι τῆς τοῦ Σωτῆρος πλευρᾶς, τὸ ἐν πεφόβηται λόγχευμα· καὶ πάροδον πρώτῳ παρέσχε τῷ εὐγνώμονι καὶ θεοσόφῳ ληστῇ. Ἦχος Βαρὺς Δια τοῦτο καὶ θαυμαστοῦται: τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· καὶ ἡ μεγαλοπρέπεια τῆς δόξης σου ἀπὸ περάτων εἰς πέρατα μεγαλύνεται. πλ. δ΄ ὑπερβαλλόντως δὲ τῇ πατρῴᾳ σου γῇ, τῇ τῶν Θετταλῶν προκαθεζομένη καὶ ὑπὸ σοῦ περιφρορουμένη ἐκ παντοδαπῶν καὶ συνεχῶν περιστάσεων.

---

Ἐγένετο πιστὴ ἀντιγραφὴ ἐκ τοῦ κώδικος τῆς Μονῆς Παντοκράτορος ὑπ' ἀριθ. 175. Προσετέθη μόνον ἡ ὑπογεγραμμένη χάριν εὐχεροῦς κατανοήσεως τῶν ἐννοιῶν, καθόσον αὕτη δὲν ἀναφαίνεται κατὰ τὸν XIV αἰῶνα, ὅτε ἐγράφη ὁ κῶδιξ. Προσετέθη ὡσαύτως ἡ διόρθωσις τριῶν λαθῶν τοῦ χειρογράφου διὰ γραμμῆς σημειωθέντων.

ΑΡΧΙΜ. ΑΘΑΝΑΣΙΟΣ ΠΑΝΤΟΚΡΑΤΟΡΙΝΟΣ

# ΚΑΝΩΝ

*εἰς τὸν ἅγιον Δημήτριον*
*οὗ ἡ ἀκροστιχὶς*
*«Μύρου γεραίρω τὴν χάριν Δημητρίου*
*Γεώργιος Σκυλίτζης»*

### ᾠδὴ α΄. ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραὼ

Μύρου εὐώδους καὶ σεπτοῦ Δημήτριε· ἠνεωγμένη πηγή· τοῦ τῶν παθῶν ρύπου· τὴν καρδίαν πλῦνόν μου· καὶ ἀρετῶν ἐν πράξεσιν, εὐ-

δίαν με δεῖξας· Χριστοῦ τὸν νοῦν μου χαρίτωσον· χάριτας τὰς θείας ὑμνῆσαι σου.

Ὕδατος ζῶντος ποταμοὺς ἐκβλύζεσθαι· ἀπὸ κοιλίας πιστῶν' λόγος Θεοῦ λέγει· ὅθεν σου προχέονται· μύρου πηγαὶ ἀείρροοι· ὧν τὸ ρεῖθρον εὐφραίνει· θεοῦ τὴν πόλιν δοξάζουσαν· τὴν μαρτυρικὴν παρρησίαν σου.

Ράβδος μὲν πάλαι Μωϋσέως πλήξασα· πέτραν ἐρήμου ἐν γῇ ἀναστομεῖ ρεῖθρα· ποταμῶν πολύρροα· σῶμα δὲ σὸν Δημήτριε· ἐκκεντήσασα λόγχη· τοῦ μύρου βρύσιν ἀνέδειξε· νέον Ἰσραὴλ ἀναψύχουσαν.

Οἵας μὲν ἕξεις ἀμοιβὰς Δημήτριε· μαρτυρικῶν σου πληγῶν· οὐδ' ὀφθαλμὸς εἶδεν· οὐδὲ οὖς ἀκήκοεν· νῦν δὲ τοῦ μύρου θάλασσαν ἀμοιβὴν τῆς ἁγνείας· προχέεις κόσμου τοῖς πέρασι· πάθη τῶν ψυχῶν ἐκκαθαίρουσαν.

*Θεοτοκίον*

Ὑπεραμόλυντον δοχεῖον πάναγνε· λόγος εὑρών σε Θεοῦ· σῇ ἐνοικεῖ μήτρᾳ· τὸ ἐκ σοῦ δὲ πρόσλημμα· χρίσας αὐτοῦ θεότητι· εἰς προῆλθεν ἐκ δύο καὶ κενωθὲν μύρον κέκληται· Χριστὸς γὰρ Θεός τε καὶ ἄνθρωπος.

**ᾠδὴ γ' Οὐρανίας ἁψῖδος**

Γεννηθεὶς οὐρανόθεν· ἐκ τοῦ Θεοῦ γέγονας· θείων ἀγαθῶν κληρονόμος· υἱὸς καλούμενος συγκληρονόμος Χριστοῦ· συμβασιλεύεις δὲ τούτῳ· τὸ γὰρ μύρον σύμβολον τούτου Δημήτριε.

Ἐξεχύθη ἡ χάρις· τοῦ παντουργοῦ πνεύματος· ἀπὸ κεφαλῆς ἕως ἄκρων· καὶ σὲ ἀνέδειξε μύρου εὐόσμου πηγήν· ἐξ ἧς ἀντλοῦμεν τὴν χάριν· τῶν θαυμάτων μέγιστε μάρτυς Δημήτριε.

Ριζωθεὶς ὥσπερ δένδρον· δαυϊτικῶς ἔνδοξε· παρὰ διεξόδους ὑδάτων· μέγαν ἀνέδωκας· τοῦ μαρτυρίου καρπὸν καὶ νῦν πηγὴ ἀνεδείχθης· μύρου διοδύουσα τῆς γῆς τὰ πέρατα.

Ἀπαντλήσας τὴν χάριν· Χριστοῦ πλευρᾶς αἵματι· συναποβλυσάσης τὸ ὕδωρ· αἷμα ἐξέχεας σὸν δι' αὐτὸν λογχευθεὶς καὶ νῦν ὡς ὕδωρ προχέεις· καρδιῶν θελητήριον μῦρον Δημήτριε.

*Θεοτοκίον*

Ἱεραί σου φιάλαι· αἱ τῆς ψυχῆς πάναγνε· πλήρης ἀρωμάτων καὶ μύρων τοῦ θείου πνεύματος· τοῦ ἐπελθόντος ἐν σοί· καὶ γὰρ Θεὸν τετο-



κυῖα· τοὺς πιστοὺς ἀπήλλαξας ἐκ δυσωδίας παθῶν.

**ᾠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε**

Ρύπου παντός· ἀπορρυφθεὶς τῆς γεννήσεως· τῷ λουτῆρι τῆς ἀναγεννήσεως· τὸ καθαρόν· ὤφθης καὶ εἰς τέλος· διὸ Χριστός σοι Δημήτριε· τὴν φυσικὴν ἰκμάδα· μεταβάλλει πρὸς μῦρον· ὡς καὶ ὕδωρ εἰς οἶνον μετήνεγκεν.

Ὥσπερ πυρός· φύσις παντὶ μεταδίδοται· ἀκεραίαν σώζουσα τὴν δύναμιν· οὕτως τὸ σὸν μῦρον ἀθλητά· πᾶσι μὲν ἀντλεῖται· ὅμως δὲ μένει· ἀμείωτον, ὃ νῦν οἱ εὐσεβοῦντες προσκυνοῦντες ὑμνοῦμεν· τὸν Θεὸν ὃς τὴν χάριν σοι δέδωκεν.

Τὶς ἀκουστάς· σοῦ τὰς αἰνέσεις ποιήσεται· Χριστὲ λόγε· βλέπων τὰς σὰς χάριτας· ἃς ἀθληταῖς· δέδωκας τοῖς σοῖς· τοῦ γὰρ Δημητρίου· ἰδοὺ τὸ μῦρον τοῦ μάρτυρος· ὡς βρύσις μὲν βλυστάνει· εὐωδίας δὲ πνέει· καὶ σκεδάζει κακῶν τὴν σκοτόμαινον.

Ἤρδευε μέν· πηγὴ ἐκ γῆς ἀναβαίνουσα· πρὸ τοῦ βρέξαι· πᾶν τὸ ταύτης πρόσωπον· σὺ δὲ κρυβείς· μάρτυς ὑπὸ γῆν· βρύσις ἀνεδείχθης· εὐώδους μῦρον Δημήτριε· αἱ λόγχαι γὰρ μυρίαι· ἀνεστόμωσαν φλέβας· καὶ νῦν κόσμου κατάρδεις τὰ πέρατα.

*Θεοτοκίον*

Νύμφην Θεοῦ· σὲ καὶ μητέρα γινώσκομεν· Θεοτόκε· σὲ γὰρ ὡς μυρίπνοον· ρόδον εὑρών· λόγος τοῦ Θεοῦ· θάλλον ἐν κοιλάδι· τῇ ταπεινῇ ἀνθρωπότητι· ἠράσθη σου τοῦ κάλλους· καὶ ἐκ σοῦ σαρκοφόρος προελθὼν τοὺς πιστοὺς εὐωδίασιν.

**ᾠδὴ ε'. Ἵνα τί με ἀπώσω**

Χρηματίσας δοχεῖον· τοῦ ἐξ οὐρανῶν καταβάντος δι' ἔλεον· ὑετοῦ καθάπερ· ἢ σταγόνος σταζούσης πραότητα· ἐπιάνθης χάρισι μυστικαῖς καὶ νῦν ἐκ τάφου· μύρου βρύσιν πηγάζεις Δημήτριε.

Ἀθληταῖς ὥσπερ νόμος· πάσης κοσμικῆς γυμνωθεὶς διαθέσεως· ἐλιπάνθης μάρτυς· ἐν ἐλαίῳ χαρίτων τοῦ πνεύματος· συμπαλαίσας δὲ σκότους δὲ τὰς ἀρχάς· βραβεῖον ἔσχες· βλύζειν μῦρον ἡδύπνουν Δημήτριε.

Ρόδον ὤφθης ἀνθῆσαν· ἔνδον τοῦ λειμῶνος Κυρίου Δημήτριε· βεβαμμένον λύθρῳ· μαρτυρίου αἱμάτων καὶ ξίφεσι. συγκοπὴν καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

πόνων· ἀθλητικῶν· φρυγὴν καμίνῳ· καὶ νῦν μῦρον σταλάττεις ἀείρροον.

Ἰδοὺ πάλιν ὁρᾶται· θεία κιβωτὸς ὁ ναὸς ὁ τοῦ μάρτυρος· οὗ λυχνία ἔνδον. τάφος φέρων τὸ μῦρον καὶ ἔλαιον· ἧς καὶ προσκιρτῶμεν· πνευματικῶς· καὶ χοραυλοῦντες· εὐφημοῦμεν τὸν μέγαν Δημήτριον.

Νέος ὥσπερ Ἡλίας· ζήλῳ τετρωμένος Χριστοῦ ἀγαπήσεως· βασιλεῖς ἐλέγχεις· καὶ σαυτὸν ἐμπαρέχεις εἰς θάνατον· ὅμως ζῇς καὶ πάλιν· μύρου πηγήν· δεικνὺς τὸν τάφον· ὡς καμψάκην ἐλαίου ἀκένωτον.

### Θεοτοκίον

Διαγράφει σου κόρη· πάλαι τὸ μυστήριον ᾄδων προπάτωρ σου, τῆς τοῦ βασιλέως· θυγατρὸς δόξαν σύμπασαν ἔσωθεν· ὁ καὶ σὲ δοξάσας ὡς μακαρίαν τοῖς ἀνθρώποις· χαῖρε κόσμου παντὸς ἡ ἀνάκλησις.

## ᾠδὴ στ΄. Ἱλάσθητί μοι Σωτὴρ

Ηὐξήθης πνευματικῶς· ἐλαία ὥσπερ κατάκαρποις· καὶ λογχοφόρων χερσί δημίων ἐκτέθλιψαι· πιστοὺς ἱλαρύνεις δὲ μῦρον νῦν ἐκβλύζων· θείου τάφου σου Δημήτριε.

Μελίσσης δίκην σαυτόν· ἐργάτην πάσης ἀνέδειξας· θεοποιοῦ ἀρετῆς· ψυχὴν μάκαρ ἄμωμον· ὡς σάμβλῳ τὸ σώματι· συντηρῶν καὶ μῦρον· νῦν ἐκβλύζεις τὸ γλυκᾶζον ψυχάς.

Ἠγάπησας ἐκ ψυχῆς· Χριστὸν καὶ τούτου ἐβάδισας· πρὸς τὴν τοῦ μῦρον ὀσμήν· καὶ ταύτης μετείληφας· συγκράσει τῇ κρείττονι· καὶ νῦν μύρου ῥεῖθρα· βλύζεις ἄπαυστα Δημήτριε.

Τετρὰς ἐκ μέσης Ἐδέμ· τῶν ποταμῶν ἀναβλύζουσα· κόσμου μερῶν τετρακτύν· ἀρδεύει τοῖς ῥεύμασιν· αὐτὸς δὲ Δημήτριε· πᾶσαν γῆν κυκλόθεν· τῷ σῷ μύρῳ εὐωδίασας.

Ρανίδες ἀθλητικῶν· εἰς γῆν αἱμάτων σου στάξασαι· εὐώδους μύρου πηγήν· αὐτὴν ἀπειργάσαντο· καὶ νῦν τούτου ἄληκτα· τοῖς ἀρυομένοις· ἀναβλύζουσι Δημήτριε.

Ἱδρῶτι τῶν σῶν σοφέ· αἱμάτων περιχεόμενος· ὡς ἄλλη νέα



πηγή· τοῖς χρήζουσι δαψιλῶς· παρέχεις εἰς ἴασιν· τὰ σὰ μῦρα μάκαρ· καὶ ῥοφῶμεν προσερχόμενοι.

### Θεοτοκίον

Ὁρῶντες χρυσοειδῆ· φωτὸς λυχνίαν τὴν ἄσβεστον· οἱ πλήθη ἁμαρτιῶν· ψυχὰς σκοτιζόμενοι· προσέλθωμεν νέμει γάρ· φωτισμὸν καὶ πᾶσαν· ἐκδιώκει ἀμαυρότητα.

## ᾠδὴ ζ΄. Παῖδες ἑβραίων ἐν καμίνῳ

Ὕδωρ ἀντλῆσαι Ἠσαΐας· τοὺς διψήσαντας Δημήτριε προτρέπει· εἰ γὰρ εἶδε τὸ σόν· τάφον ἐβόα πάντως· μύρον πῇ προσέρχεσθε· καὶ ἀντλεῖτε σωτηρίαν.

Γῆς μὲν ἀπόγονος ἐγένου· κατεσκήνωσας εἰς γῆν δὲ τῶν πραέων· ἔνθα ὕδωρ τροφῆς· οὗ καὶ ποιῶν εἰς κόρον· μύρου πηγὴν ἀέναον· νῦν Δημήτριε προχέεις.

Ἔφυς ὡς κλῆμα ἐν ἀμπέλῳ· μένων ἄτμητος καὶ συνημμένος· ἐκ τῆς τούτου πλησθεὶς πιότητος ἀρρήτου· μῦρα ὡς γλεῦκος· ἅπασι νῦν Δημήτριε βλυστάνεις.

Ὢ τῶν καινῶν σου παλαισμάτων· ὢ τῶν ξένων σου μαρτυρικῶν ἐπάθλων· σοὺς ἱδρῶτας καὶ γάρ· τοὺς δι᾿ αὐτὸν χυθέντας· μάκαρ Χριστὸς δεξάμενος· βρύσιν μύρου σε δεικνύει.

Ρεῖθρα τοῦ μύρου σου προχέων· μέγα πέλαγος ἐξήπλωσας θαυμάτων· καὶ ψυχῶν καὶ σαρκῶν· τὰς νόσους κατακλύζεις· καὶ πειρασμῶν Δημήτριε· πάντα κλύδωνα κοιμίζεις.

### Θεοτοκίον

Γάλα ἐπότισας παρθένε· σαρκοφόρον σου Θεὸν· γεγενημένον· ὡς ὀδύνην Ἀδὰμ· τοῦ φάρυγος λεάνῃ· ξύλον φυγόντος γνώσεως· ἐντολῆς τοῦ παρηκόου.

## Ὠδὴ Η΄ Ἑπταπλασίως κάμινον

Ἵνα Θεὸς γνωρίσῃ σε· τοῖς ἐν κόσμῳ Δημήτριε· ἄσβεστον λαμπάδα τῆς ψυχῆς φυλάξαντος· ἐλαίῳ τῶν πράξεων· λιπαινομένων ἐνδελεχῶς· καὶ ὡς αἱ νυμφῶνος σοὶ ἠνοίγησαν πύλαι· ἀείρροον πηγὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σε θείου μύρου δεικνύει· εἰς ἀμοιβὴν ἀγνείας· ταύτην διδοὺς τὴν χάριν.

Οὐκ ἐξ αἱμάτων ὥς φησι· τὸ σεπτὸν εὐαγγέλιον· οὐδὲ ἐκ θελήματος σαρκὸς Δημήτριε· Θεῷ δὲ γεγέννησαι· τὸν σταυρωθέντα σέβων θεόν· αἷμα δὲ προθύμως δι' αὐτὸν σου κενώσας· ἀντείληφας ὑψόθεν· τεραστίαν τὴν χάριν· ἐκβλύζειν θεῖον μύρον· πιστοὺς εὐωδίαζον.

Σὺ κλίμαξ ὤφθης ἔμψυχος· ἐπὶ γῆς μὲν στηρίζουσα· ἴχνη τῆς σαρκὸς εἰς οὐρανὸν δὲ φθάνουσα· Θεὸν γὰρ ἐπλούτησα· ἐστηριγμένον μάρτυς ἐν σοί· στήλη δὲ ὡράθης ἠλειμμένη ἐλαίῳ· ἀγώνων μαρτυρίου· καὶ νῦν ἀντιπηγάζεις· τοῖς πίστει προσιοῦσι· πηγὴν ἐνθέου μύρου.

Σὲ ποταμὸν προέγραψε· τοῦ Θεοῦ πληθυνόμενον· ψάλλων ὁ Δαυῒδ προφητικῶς Δημήτριε· ἰδοὺ γὰρ ἀκένωτος· ἡ προχοὴ τοῦ μύρου τοῦ σοῦ, ὅθεν οἱ μυρίοι ποταμοὶ πλημμυροῦντες· φωνὰς αὐτῶν ὑψοῦσι· ταῖς χερσὶ δὲ κροτοῦσιν· εἰς δόξαν τοῦ τοῖς πᾶσι· δοξάσαντος Θεοῦ σε.

Κύριος εἷς τρισάγιος· σὺ Θεὲ πανθενέστατε· ὃν θεολογῶν ὁ ἀθλητὴς Δημήτριος· εἰρκτῇ κατακλείεται· καὶ σὺν σκορπίῳ τῷ αἰσθητῷ· ὄφιν θανατώσας νοητὸν καὶ τὸ θράσος· Λυαίου καταστρέψας· διὰ Νέστορος θείου· λογχεύεται καὶ μύρον· νῦν ἐκ τοῦ τάφου βλύζει.

*Θεοτοκίον*

Ὑπὲρ Ἀδὰμ ὁ Κύριος· ὑπὲρ Εὔας σὺ πάναγνε· ὁ δὲ Γαβριὴλ κατὰ τοῦ πλάνου ὄφεως· σταυρὸς ἀντὶ ξύλου δὲ· κῆπος τοῦ Τάφου ἀντὶ Ἐδὲμ· χαρὰ ἀντὶ λύπης· * λόγχη ἀντὶ φλογίνης· ῥομφαίας καὶ πορφύρας· συκῆς ἀντὶ τῶν φύλλων· σὲ γοῦν ὑμνοῦμεν κόρη· ὡς τούτων παραιτίαν.

## Ὠδὴ Θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς

Λαβών σου τὸ ἀλάβαστρον τῆς ψυχῆς· ἀρετῶν θείου μύρου πληρούμενον· σχὼν δὲ Χριστόν· κλίναντά σοι μάρτυς τὴν κεφαλήν· ὡς ἐπαναπαυσάμενον· βίου σου λαμπρότητι καθαροῦ· αὐτῷ ἐμα-

* Τὸ χειρόγ. ἔχει χαῖρε ἀντὶ λύπη.



καρίσθης· καὶ χάριτος ἐπλήσθης· μυροβλητῶν τοῖς κόσμου πέρασιν.

Ἰδοὺ τῶν μενουσῶν σε ἀνταμοιβῶν· τῶν ἀρρήτων λαμπρὰ προτυπώματα· ἰδοὺ πηγή· μύρου ἀειρρόου ὦ ἀθλητά· Θεῷ οὖν παριστάμενος· μετὰ παρρησίας μαρτυρικῆς· τῷ βασιλεῖ ἐξαίτει· κατὰ βαρβάρων νίκας· καὶ βασιλείαν τέλος ἄληκτον.

Τῷ τύπῳ τοῦ Σταυροῦ τῷ νικοποιῷ· ἐξαλείψας Λυκαίου θρασύτητα· καὶ νικητήν· Νέστορα καὶ σύναθλον τεθηκώς· νῦν καὶ πᾶν γένος βάρβαρον· δοῦλον ἀναδείξας τῷ βασιλεῖς· συμπράττων συστρατεύων· κρατύνων μεγαλύνων· τῆς γῆς τὰ πέρατα Δημήτριε.

Ζεούσης ἐκ καρδίας πόθῳ τῷ σῷ· τῇ σεπτῇ κιβωτῷ τοὺς προστρέχοντας· μάρτυς Χριστοῦ· μύρον προχεούσῃ τοὺς ποταμούς· μύρου προεχούσῃ τοὺς ποταμούς· ταῖς πρεσβείαις λύτρωσαι· ἔργων ψυχοχθόρων κατακλυσμοῦ· παθῶν τε δυσωδίας· ὀσφράδια δὲ δεῖξον· αὐτοὺς Κυρίῳ εὐωδέστατα.

Ἡμέρα χαρμοσύνως πνευματικῶς· ἐκτελοῦμεν Δημήτριε βλέποντες· μύρου τοῦ σοῦ· ἄπαυστα βλύζουσαν τὴν πηγήν· σὺ δὲ παθῶν σκοτόμαιναν· λύων ὡς ἐνθέου πλήρης φωτός. ὡς ἐν ἡμέρᾳ δίδου· ὁδεύων εὐσχημόνως· Θεοῦ βλέπειν φῶς ἀπρόσιτον.

*Θεοτοκίον*

Σὺ πάναγνε χρυσέα περιστερά· οἷα κάρφος ἐλαίας βαστάσασα· λόγον Θεοῦ· χρίσαντα τὴν σάρκα τὴν ἑαυτοῦ· ἐλαίῳ τῆς Θεότητος· ὃν ἐν τῇ καρδίᾳ ὡς κιβωτῷ· λαβὼν ὁ ἀθλοφόρος· ἐκ τάφου μῦρα βλύζει· ἱλαρύνει πιστῶν πρόσωπα.

---

**Ἀντεγράφη ὡσαύτως ὡς ἔχει ἐκ τοῦ χειρογρ. κώδικος τῆς Μονῆς τοῦ Παντοκράτορος ὑπ' ἀρ. 175, ἀναγομένου εἰς τὸν τέταρτον αἰῶνα, ὡς ἔχοντος χρονολογίαν γραφῆς 1362. Προσέθηκα μόνον τὴν ὑπογεγραμμένην ὡς καὶ ἐν τῇ πρόσθεν ἀκολουθίᾳ.**

**Ὁ κανὼν οὗτος εἶναι βαθύτερος εἰς νοήματα καὶ λίαν ποιητικὸς καὶ θεολογικός. Τὰ μετρικὰ δὲ τῆς μουσικῆς κῶλα, κανονικά εἰσι καὶ σχεδὸν αὐτοτελῆ κατ' ἔννοιαν.**

**Ἐνῷ ὁ τοῦ Σταυρακίου κανὼν δὲν ἔχει μήτε τὴν χάριν καὶ τὴν εὔροιαν τῆς φράσεως, μήτε τὸ ὕψος τῶν θεολογικῶν καὶ δογματικῶν ἐννοιῶν τοῦ κανόνος. Φαίνεται δὲ ἀπομίμησις τὸ πλεῖστον καὶ μᾶλλον λαϊκώτερος καὶ χαριστήριος, διὸ καὶ ἐμελοποίησεν αὐτὸν ἐπὶ τοῦ Ἀναστάσεως ἡμέρα..**

**ΑΡΧ. ΑΘΑΝΑΣΙΟΣ ΠΑΝΤΟΚΡΑΤΟΡΙΝΟΣ**

'Αντίγραφον ἐκ τοῦ ὑπ' ἀριθ. 175 χειρογράφου κώδικος «Μηναῖον 'Οκτωβρίου» τῆς 'Ιερᾶς ἁγιορείτιδος Μονῆς τοῦ Παντοκράτορος, γραφέντος τῷ ἔτει κοσμογονίας ςωο' ἤτοι ἀπὸ Χριστοῦ 1362 ὑπὸ Ἰωσὴφ (ἴσως) Τζυρίθωνος ὡς ἐξ ἄλλων ὁμοίων εἰκάσαι ἔστι, ληφθὲν δὲ διὰ χειρὸς 'Αρχιμανδρίτου ΑΘΑΝΑΣΙΟΥ ΠΑΝΤΟΚΡΑΤΟΡΙΝΟΥ τῷ 1926 :

1. 'Ακολουθία εἰς τὸν Ἅγιον Δημήτριον ὑπὸ Ἰωάννου Σταυρακίου χαρτοφύλακος Θεσσαλονίκης.

2. Κανὼν εἰς τὸν Ἅγιον Δημήτριον ὑπὸ Γεωργίου Σκυλίτζη.

ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ΕΛΛΗΝΙΚΟ ΛΟΓΟΤΕΧΝΙΚΟ ΚΑΙ ΙΣΤΟΡΙΚΟ ΑΡΧΕΙΟ

ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ
ΤΥΠΟΓΡΑΦΕΙΟΝ Ι. ΚΟΥΜΕΝΟΥ
1927

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ